ὡς οὐδὲν ἀνθρώποισι τῶν θεῶν σαφές.
ἐγὼ γὰρ οὔτ' ἐς πατέρ' ἀπηλάθην τύχης,
ὃς οὕνεκ' ὄλβου μέγας ἐκομπάσθη ποτὲ,
ἔχων τυραννίδ', ἧς μακραὶ λόγχαι πέρι
πηδῶσ' ἔρωτι σώματ' εἰς εὐδαίμονα,
ἔχων δὲ τέκνα· κἄμ' ἔδωκε παιδὶ σῷ,
ἐπίσημον εὐνὴν Ἡρακλεῖ συνοικίσας.
καὶ νῦν ἐκεῖνα μὲν θανόντ' ἀνέπτατο·
ἐγὼ δὲ καὶ σὺ μέλλομεν θνήσκειν, γέρον,
οἵ θ' Ἡράκλειοι παῖδες, οὓς ὑπὸ πτεροῖς
σώζω νεοσσοὺς ὄρνις ὣς ὑφειμένη.
οἱ δ' εἰς ἔλεγχον ἄλλος ἄλλοθεν πίτνων,
Ὦ μῆτερ, αὐδᾷ, ποῖ πατὴρ ἄπεστι γῆς;
τί δρᾷ; πόθ' ἥξει; τῷ νέῳ δ' ἐσφαλμένοι
ζητοῦσι τὸν τεκόντ'· ἐγὼ δὲ διαφέρω
λόγοισι μυθεύουσα. θαυμάζω δ', ὅταν
πύλαι ψοφῶσι, πᾶς τ' ἀνίστησιν πόδα,
ὡς πρὸς πατρῷον προσπεσούμενοι γόνυ.
νῦν οὖν τίν' ἐλπίδ' ἢ πόρον σωτηρίας
ἐξευμαρίζει, πρέσβυ; πρὸς σὲ γὰρ βλέπω.
ὡς οὔτε γαίας ὅρι' ἂν ἐκβαῖμεν λάθρα·
φυλακαὶ γὰρ ἡμῶν κρείσσονες κατ' ἐξόδους·
οὔτ' ἐν φίλοισιν ἐλπίδες σωτηρίας
ἔτ' εἰσὶν ἡμῖν. ἥντιν' οὖν γνώμην ἔχεις
λέγ' ἐς τὸ κοινὸν, μὴ θανεῖν ἕτοιμον ᾖ,
χρόνον δὲ μηκύνωμεν ὄντες ἀσθενεῖς.
ΑΜ. ὦ θύγατερ, οὔτοι ῥᾴδιον τὰ τοιάδε
φαύλως παραινεῖν σπουδάσαντ' ἄνευ πόνου.
ΜΕ. λύπης τι προσδεῖς ἢ φιλεῖς οὕτω φάος;
ΑΜ. καὶ τῷδε χαίρω καὶ φιλῶ τὰς ἐλπίδας.
ΜΕ. κἀγώ· δοκεῖν δὲ τἀδόκητ' οὐ χρὴ, γέρον.
ΑΜ. ἐν ταῖς ἀναβολαῖς τῶν κακῶν ἔνεστ' ἄκη.
ΜΕ. ὁ δ' ἐν μέσῳ με λυπρὸς ὢν δάκνει χρόνος.
ΑΜ. γένοιτό τἄν, ὦ θύγατερ, οὔριος δρόμος
ἐκ τῶν παρόντων τῶνδ' ἐμοὶ καὶ σοὶ κακῶν
ἔλθοι τ' ἔτ' ἂν παῖς οὑμὸς, εὐνήτωρ δὲ σός.